22/04/2020

Το Αναστάσιμο Απόδειπνο στο Τρίκορφο Φωκίδος

/ Ιερές Μονές

Το αναστάσιμο Απόδειπνο που είναι προσευχή της Διακαινησίμου εβδομάδος, όπου διαβάζουν οι πατέρες της Ιεράς Μονής Αγίων Αυγουστίνου Ιππώνος και Σεραφείμ του Σάρωφ, ονομάζεται «Εναρκτήριος Ακολουθία του Πάσχα». Από την Κυριακή του Πάσχα μέχρι και το Σάββατο της Διακαινησίμου, δηλαδή μέχρι το Σάββατο πριν την Κυριακή του Θωμά, δεν διαβάζουμε το Μικρό Απόδειπνο ούτε το Μεγάλο Απόδειπνο αλλά την Εναρκτήριο Ακολουθία, η οποία αντικαθιστά το Απόδειπνο, το Μεσονυκτικό και τις Ακολουθίες των Ωρών Α΄, Γ΄, ΣΤ΄, Θ΄. Η Εναρκτήριος Ακολουθία του Πάσχα, διαβάζεται και πάλι κατά την Απόδοση της εορτής του Πάσχα μετά από 40 ημέρες, μια ημέρα πριν την εορτή της Αναλήψεως του Ιησού Χριστού.

Μετά τό· « Εὐλογητός ὁ Θεός ἡμῶν... ». Χριστός ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καί τοῖς ἐν τοῖς μνήμασι ζωήν χαρισάμενος (τρίς). ᾽Ανάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ῞Αγιον Κύριον ᾽Ιησοῦν, τόν μόνον ἀναμάρτητον. Τόν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καί τήν ἁγίαν σου ᾽Ανάστασιν ὑμνοῦμεν καί δοξάζομεν. Σύ γάρ εἶ Θεός ἡμῶν, ἐκτός Σοῦ ἄλλον οὐκ οἴδαμεν, τό ὄνομά Σου ὀνομάζομεν.

Δεῦτε πάντες οἱ πιστοί προσκυνήσωμεν τήν τοῦ Χριστοῦ ἁγίαν ᾽Ανάστασιν· ἰδού

γάρ ἦλθε διά τοῦ Σταυροῦ, χαρά ἐν ὅλῳ τῷ κόσμῳ. Διαπαντός εὐλογοῦντες τόν Κύριον, ὑμνοῦμεν τήν ᾽Ανάστασιν αὐτοῦ. Σταυρόν γάρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν (τρίς). Προλαβοῦσαι τόν ὄρθρον αἱ περί Μαριάμ, καί εὑροῦσαι τόν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ ᾽Αγγέλου· τόν ἐν φωτί ἀϊδίῳ ὑπάρχοντα, μετά νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τά ἐντάφια σπάργανα· δράμετε καί τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τόν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τό γένος τῶν ἀνθρώπων.

Εἰ καί ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλά τοῦ ῞Αδου καθεῖλες τήν δύναμιν· καί ἀνέστης ὡς νικητής, Χριστέ, ὁ Θεός, γυναιξί Μυροφόροις φθεγξάμενος, Χαίρετε· καί τοῖς σοῖς ᾽Αποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν. ᾽Εν τάφῳ σωματικῶς, ἐν ῞Αδῃ δέ μετά ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δέ μετά λῃστοῦ, καί ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Δόξα Πατρί... ῾Ως ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καί παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ τάφος σου, ἡ πηγή τῆς ἡμῶν ἀναστάσεως. Καί νῦν καί ἀεί... Τό τοῦ ῾Υψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διά σοῦ γάρ δέδοται ἡ χαρά Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ ἐν γυναιξίν ὑπάρχεις, πανάμωμε Δέσποινα. «Κύριε, ἐλέησον» (μ΄). Δόξα, Καί νῦν· «Τήν Τιμιωτέραν τῶν Χερουβείμ...». «Δι᾽ εὐχῶν...».

Η Εναρκτήριος ακολουθία επαναλαμβάνεται τρεις φορές και μετά τελείται μικρή απόλυση από τον ιερέα, επισφραγίζοντάς την με το Χριστός ανέστη.

Δείτε το σχετικό βίντεο:

Ιερά Μονή Αγίων Αυγουστίνου Ιππώνος και Σεραφείμ του Σαρώφ, Τρίκορφο Φωκίδος